Ἑρμᾷ τυρευτῆρι καὶ εὔγλαγι τὸν χιμάραρχον
χάλκεον εὐπώγων' ὧδ' ἀνέθεντο τράγον.

## LXXXIII

αὐτοῦ ἐφ' αἱμασιαῖσι τὸν ἀγρυπνοῦντα Πρίηπον
ἔστησεν λαχάνων Δεινομένης φύλακα·
ἀλλ' ὡς ἐντέταμαι, φώρ, ἔμβλεπε. "τοῦτο" δ' ἐρωτᾷς
"τῶν ὀλίγων λαχάνων εἵνεκα;" τῶν ὀλίγων.

## LXXXIV

ἀμφοτέραις παρ' ὁδοῖσι φύλαξ ἕστηκα Πρίηπος
ἰθυτενὲς μηρῶν ὀρθιάσας ῥόπαλον,
εἵσατο γάρ πιστόν με Θεόκριτος. ἀλλ' ἀποτηλοῦ,
φώρ, ἴθι, μὴ κλαύσῃς τὴν φλέβα δεξάμενος.

## LXXXV

ὁ πλόος ὡραῖος, καὶ γὰρ λαλαγεῦσα χελιδὼν
ἤδη μέμβλωκεν χὠ χαρίεις Ζέφυρος,
λειμῶνες δ' ἀνθεῦσι, σεσίγηκεν δὲ θάλασσα
κύμασι καὶ τρηχεῖ πνεύματι βρασσομένη.
ἀγκύρας ἀνέλοιο καὶ ἐκλύσαιο γύαια,
ναυτίλε, καὶ πλώοις πᾶσαν ἐφεὶς ὀθόνην·
ταῦθ' ὁ Πρίηπος ἐγὼν ἐπιτέλλομαι, ὁ λιμενίτης,
ὤνθρωφ', ὡς πλώοις πᾶσαν ἐπ' ἐμπορίην.

## LXXXVI

μὴ σύ γ' ἐπ' οἰονόμοιο περίπλεον ἰλύος ὧδε
τοῦτο χαραδραίης θερμόν, ὁδῖτα, πίῃς,